## LIII

ἁ πάρος ἄδμητος καὶ ἀνέμβατος, ὦ Λακεδαῖμον,
  καπνὸν ἐπ' Εὐρώτᾳ δέρκεαι ὠλένιον
ἄσκιος· οἰωνοὶ δὲ κατὰ χθονὸς οἰκία θέντες
  μύρονται, μήλων δ' οὐκ ἀίουσι λύκοι.

## LIV

ʽΕΡ. χαίρω τὸν λακέρυζον ὁρῶν θεὸν εἰς τὸ φάλανθον
  βρέγμ' ὑπὸ τᾶν ὀχνᾶν, αἰπόλε, τυπτόμενον.
ΠΡ. αἰπόλε, τοῦτον ἐγὼ τρὶς ἐπύγισα, τοὶ δὲ τραγίσκοι
  εἰς ἐμὲ δερκόμενοι τὰς χιμάρας ἔβλεπον.
ΑΙ. ὄντως σ', ʽΕρμαφρόδιτε, πεπύγικεν; ʽΕΡ. οὔ, μὰ τὸν ʽΕρμᾶν,
  αἰπόλε. ΠΡ. ναὶ τὸν Πᾶν', αἰπόλε, κἀπιγελῶν.

## LV

πρὶν μὲν ἁλικλύστου πέτρας ἐν βένθεσιν ἧμαν
  εὐαλδὲς πόντου φῦκος ἀπαινυμένα,
νῦν δέ μοι ἱμερόεις κόλπων ἔντοσθεν ἰαύει
  λάτρις ἐυστεφάνου Κύπριδος ἁβρὸς Ἔρως.

## LVI

οἶδα φιλεῖν φιλέοντας· ἐπίσταμαι ἤν μ' ἀδικῇ τις
  μισεῖν· ἀμφοτέρων εἰμὶ γὰρ οὐκ ἀδαής.